**Ομηρος, Οδυσσεια ζ 276—84, 43—7**

«τις δ οδε Ναυσικαα επεται καλος τε μεγας τε
ξεινος; που δε μιν ευρε; ποσις νυ οι εσσεται αυτη.
η τινα που πλαγχθεντα κομισσατο ης απο νηος
ανδρων τηλεδαπων, επει ου τινες εγγυθεν εισιν·
η τις οι ευξαμενη πολυαρητος θεος ηλθεν
ουρανοθεν καταβας, εξει δε μιν ηματα παντα.
βελτερον, ει καυτη περ εποιχομενη ποσιν ευρεν
αλλοθεν· η γαρ τουσδε γ ατιμαζει κατα δημον
Φαιηκας, τοι μιν μνωνται πολεες τε και εσθλοι».

☆

η δ οτε δη ου πατρος αγακλυτα δωμαθ ικανεν,
στησεν αρ εν προθυροισι, κασιγνητοι δε μιν αμφις
ισταντ αθανατοις εναλιγκιοι, οι ρ υπ απηνης
ημιονους ελυον εσθητα τε εσφερον εισω.
αυτη δ ες θαλαμον εον ηιε.

**Ησιοδος, Θεογονια 820—56**

Αυταρ επι Τιτηνας απ ουρανου εξελασεν Ζευς,
οπλοτατον τεκε παιδα Τυφωεα Γαια πελωρη
Ταρταρου εν φιλοτητι δια χρυσεην Αφροδιτην·
ου χειρες μεν εασιν επ ισχυι εργματ εχουσαι,
και ποδες ακαματοι κρατερου θεου· εκ δε οι ωμων
ην εκατον κεφαλαι οφιος, δεινοιο δρακοντος,
γλωσσησι δνοφερησι λελιχμοτες, εκ δε οι οσσων
θεσπεσιης κεφαλησιν υπ οφρυσι πυρ αμαρυσσεν·
πασεων δ εκ κεφαλεων πυρ καιετο δερκομενοιο·
φωναι δ εν πασησιν εσαν δεινης κεφαλησι
παντοιην οπ ιεισαι αθεσφατον· αλλοτε μεν γαρ
φθεγγονθ ως τε θεοισι συνιεμεν, αλλοτε δ αυτε
ταυρου εριβρυχεω μενος ασχετου οσσαν αγαυρου,
αλλοτε δ αυτε λεοντος αναιδεα θυμον εχοντος,
αλλοτε δ αυ σκυλακεσσι εοικοτα, θαυματ ακουσαι,
αλλοτε δ αυ ροιζεσχ υπο δ ηχεεν ουρεα μακρα.
Και νυ κεν επλετο εργον αμηχανον ηματι κεινω
και κεν ο γε θνητοισι και αθανατοισι αναξεν,
ει μη αρ οξυ νοησε πατηρ ανδρων τε θεων τε.
Σκληρον δ εβροντησε και οβριμον, αμφι δε γαια
σμερδαλεον κοναβησε και ουρανος ευρυς υπερθεν
ποντος τ Ωκεανου τε ροαι και ταρταρα γαιης.
Ποσσι δ υπ αθανατοισι μεγας πελεμιζετ Ολυμπος
ορνυμενοιο ανακτος· επεστεναχιζε δε γαια.
Καυμα δ υπ αμφοτερων κατεχεν ιοειδεα ποντον,
βροντης τε στεροπης τε πυρος τ απο τοιο πελωρου,
πρηστηρων ανεμων τε κεραυνου τε φλεγεθοντος.
Εζεε δε χθων πασα και ουρανος ηδε θαλασσα·

θυιε δ αρ αμφ ακτας περι τ αμφι τε κυματα μακρα
ριπη υπ αθανατων, ενοσις δ ασβεστος ορωρει·
τρεε δ Αιδης, ενεροισι καταφθιμενοισι ανασσων,
Τιτηνες θ υποταρταριοι, Κρονον αμφι εοντες,
ασβεστου κελαδοιο και αινης δηιοτητος.
Ζευς δ επει ουν κορθυνεν εον μενος, ειλετο δ οπλα,
βροντην τε στεροπην τε και αιθαλοεντα κεραυνον,
πληξεν απ Ουλυμποιο επαλμενος· αμφι δε πασας
επρεσε θεσπεσιας κεφαλας δεινοιο πελωρου.

**Απολλωνιος Ροδιος, Αργοναυτικα, Γ 440—8, 451—8**

θεσπεσιον δ εν πασι μετετρεπεν Αισονος υιος
καλλει και χαριτεσσιν· επ αυτῳ δ ομματα κουρη
λοξα παρα λιπαρην σχομενη θηειτο καλυπτρην,
κηρ αχεϊ σμυχουσα· νοος δε οι ηυτ ονειρος
ερπυζων πεποτητο μετ ιχνια νισσομενοιο.
και ρ οι μεν ρα δομων εξηλυθον ασχαλοωντες.

☆

αυτως δ αυ Μηδεια μετεστιχε· πολλα δε θυμῳ
ωρμαιν, οσσα τ Ερωτες εποτρυνουσι μελεσθαι.
προπρο δ αρ οφθαλμων ετι οι ινδαλλετο παντα,
αυτος θ οιος εην, οιοισι τε φαρεσιν εστο,
οια τ εειφ, ως θ εζετ επι θρονου, ως τε θυραζε
ηιεν· ουδε τιν αλλον οϊσσατο πορφυρουσα
εμμεναι ανερα τοιον· εν ουασι δ αιεν ορωρει.

**Ψαλμος 53**

3 Ο Θεος, εν τῳ ονοματι σου σωσον με και εν τη δυναμει σου κρινον με.
4 ο Θεος, εισακουσον της προσευχης μου. ενωτισαι τα ρηματα του στομα-
τος μου. 5 οτι αλλοτριοι επανεστησαν επ εμε και κραταιοι εζητησαν την
ψυχην μου και ου προεθεντο τον Θεον ενωπιον αυτων. (διαψαλμα). 6 ι-
δου γαρ ο Θεος βοηθει μοι, και ο Κυριος αντιληπτωρ της ψυχης μου. 7
αποστρεψει τα κακα τοις εχθροις μου· εν τη αληθειᾳ σου εξολοθρευσον αυ-
τους. 8 εκουσιως θυσω σοι, εξομολογησομαι τῳ ονοματι σου, Κυριε, οτι
αγαθον· 9 οτι εκ πασης θλιψεως ερρυσω με, και εν τοις εχθροις μου ε-
πειδεν ο οφθαλμος μου.

**Το ιερον ευχελαιον**

Θεοτοκε αειπαρθενε Παναγια, σκεπη στερρα και φυλαξ μου, λιμην τε και τειχος, κλιμαξ και προπυργιον, ελεησον οικτειρον· προς σε γαρ και μονην κατεφυγον.

☆

Υπαρχων Αγαθε, του ελεους η αβυσσος, ελεησον Ελεημον, σου τῳ θειῳ Ελαιῳ, τον καμνοντα ως ευσπλαχνος.
Ψυχας ημων Χριστε, και τα σωματα αγωθεν, σφραγιδος σου θειῳ τυπῳ,